# TEZAUR LITURGIC

## 23 NOIEMBRIE

ISIDORA AGHIROTITISSA

# PARACLISUL SF.IERARH AMFILOHIE, EPISCOPUL ICONIUMULUI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ЄΚΚΛΗϹΙΑϹ ΤΗϹ ЄΛΛΑΔΟϹ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

# Εις τον εν Αγίοις Πατέρα ημών Αμφιλόχιον Επίσκ. Ικονίου

## Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης

Ευλογήσαντος του Ιερέως· το Κύριε εισάκουσον, μεθ' ο το Θεός Κύριος, ως συνήθως και τα εξής·

Ήχος δ' . Ο υψωθείς εν τω Σταυρώ

Χρηματισθείς ως καθαρός μετ' Αγγέλου, και μυηθείς χερουβικώς Ιεράρχα, εν σεαυτώ τον ύμνον τον τρισάγιον, Πάτερ Αμφιλόχιε ιερούργησας όντως, Τριάδα ομόθρονον, ορθοδόξως κηρύξας· και νυν Χριστόν μη παύση δυσωπών, υπέρ των πίστει υμνούντων σας χάριτας.

Δόξα. Όμοιον.

Εν φωταυγία μυστική θεηγόρε, το Ευαγγέλιον λαβών υπ' αΰλών, θεοβουλήτως ήστραψας ισάγγελε, Πάτερ Αμφιλόχιε, ως ποιμήν Ικονίου, ψυχάς εκκαθαίρων νυν, τη θερμή σου πρεσβεία· διο τοις χρήζουσι μη παύση χορηγών, ως ελεήμων, δωρήματα πρόσφορα.

Και νυν. Θεοτοκίον.

Ου σιωπήσωμέν ποτε...

Ο Ν .Και ο κανών, ου η ακροστιχίς : Αμφιλόχιε, το φως λόχευσόν μοι. Ισιδώρα.

Ωδή α’ . Ήχος πλ. δ’ . Υγράν διοδεύσας

Ακτίνας φωτός του τρισολαμπούς, σεπτέ Ιεράρχα, Αμφιλόχιε θεωρών, διάλυσον σκότωσιν νοός μου και επιλάμψεως θείας αξίωσον.

Μερίμνη τη άνωθεν λοχευθείς, Ποιμήν Ικονίου, επί χλόην ζωοποιόν, εποίμαινας Πάτερ εν τοις κρίνοις, αρωμάτων εν κήποις χρηστότητος.

Φαιδρός εισελήλυθας εις ναόν, ουράνιον Πάτερ, εις αθέατα εντρυφών, και νυν Αμφιλόχιε καρδίας, και ψυχάς ημών πάντων ουράνωσον.

Θεοτοκίον.

Ιλέωσαι Κόρη τον σον Υιόν, συγχώρησιν δούναι, επταισμένων ίνα υμνώ, νοϊ καθαρώ σας αντιλήψεις, Παρθενομήτορ εμόν αγαλλίαμα·

Ωδή γ’ . Ουρανίας αψίδος

Λαμπαδούχος εφάνης, πυριστεφής Όσιε, της θεολογίας τρανώσας την γνώσιν άπασι, διο υπάναψον εν ταις ψυχαίς ημών φλόγα, θείας αγαπήσεως, Αμφιλόχιε.

Οδυνών των παθών μου και προσβολών δράκοντος, ρύσαί με πρεσβεία σου Πάτερ, τη πανοικτίρμονι, πόμα το ήδιστον, βλύζων εμοί απαθείας, Πάτερ Αμφιλόχιε, και κατανύξεως.

Χριστοκλήτως εκφαίνων ποιμαντικάς χάριτας, πύλας εννοιών αθανάτων, ήνοιξας Άγιε, διο σωτήριον ημίν λοχείαν παρέχεις, Πάτερ Αμφιλόχιε, αγαλλιάσεως.

Θεοτοκίον.

Ιατήρα δυσώπει, ον εν γαστρί έφερες, δύσμορφον εικόνα ω Μήτερ, καθωραΐσαι μου· και γαρ σε εύρηκε πάντερπνον σφόδρα ο κάλλει, εν βροτοίς υπέρκαλος και ωραιότατος.

Διάσωσον, ημάς εκ πλάνης και θλίψεως ψυχοφθόρου, Αμφιλόχιε σεπτέ Ιεράρχα, τους τιμώντάς σου χάριτας, πίστει, και ευλαβεία.

Επίβλεψον εν ευμενεία....

Αίτησις και το Κάθισμα. Ήχος β' . Πρεσβεία θερμή.

Την γνώσιν λαβών ζωής την αδαπάνητον, τον νουν σου σοφέ επλήρωσας λαμπρότητος, βοών προς τον Ποιμένα σου, που ποιμαίνεις ω Λόγε σα θρέμματα, διο εις όρη θείας καλλονής, ανάφερε πάντας Αμφιλόχιε.

Ωδή δ’ . Εισακήκοα Κύριε.

Εγεώργησας λόγω σου, λογικούς λειμώνας ανθέων πίστεως, διο μύρον ως πολύτιμον, ημάς θέλγει Πάτερ, η ση εύνοια.

Τας αυγάς ιριδίζων μοι, των κρειττόνων Πάτερ φέρειν ενίσχυσον, ευωδίαν καθαρότητας, ίνα Αμφιλόχιε γεραίρω σε.

Ομβροφόρος ως νέφωσις, εξ αυχμού με ρύεται η πρεσβεία σου, βουλευμάτων του αλάστορος, δρόσον ουρανίαν υετίζουσα.

Θεοτοκίον.

Φωτοφόρε Παράδεισε, του λαμπρού νυμφώνος με καταξίωσον, η παστάς θείας σαρκώσεως, η κεχρυσωμένη τη αγνεία σου.

Ωδή ε’ . Φώτισον ημάς.

Ώφθης αρραγές, εκκλησίας περιτείχισμα, διο στήριξον εν πίστει ακλινεί, το ποίμνιόν σου, ορθοδόξως Αμφιλόχιε.

Σκήνωμα τερπνόν, ένθα μένεις μοι ευτρέπισον, ίνα πρόσωπον προς πρόσωπον ορώ, ον κατεπόθησας παμμάκαρ Αμφιλόχιε.

Λόχευσον ημίν, αγιάσματος την εύκλειαν, ο φερώνυμον την κλήσιν βεβαιών, Αμφιλόχιε κατ’ άμφω νέμων ίασιν.

Θεοτοκίον.

Όμβρησον ημίν, οίνον θείας επιγνώσεως, αναστέλλοντα την μέθην των παθών, η θείον βότρυν της ζωής αποκυήσασα.

Ωδή στ' . Την δέησιν.

Χορείαις, αγγελικαίς συναυλίζη, ο βιώσας εν σώματι αΰλως· και νυν ημίν πατρική ευστοργία, ελθέ και δίδου γλυκείαν παράκλησιν, οράν το όντως εφέτον, τω νοΐ Αμφιλόχιε πάντοτε.

Εκλάμψας, ιερωσύνης τω φάει, υπ' Αγγελών ως λαβών χρίσμα θείον, τους αφορώντας προς σε εκ καρδίας, εκ ρύπου βλάβης και θλίψεων λύτρωσαι, ω Αμφιλόχιε σεπτέ, των δογμάτων η λύρα η εύσημος.

Υπάρχεις, των υπερβάσεων μύστης, θεοτύπωτος εικών απορρήτων, διο εμέ εν αβύσσω κακίας, βεβυθισμένον ω Πάτερ ανέλκυσον, δεήσει σου τη φωταυγεί, υπερκόσμιε νου Αμφιλόχιε.

Θεοτοκίον.

Σε ο Λόγος, ο του Πατρός Θεοτόκε, ως χρυσούν θυμιατήριον εύρεν, εν ω ανάψας σαρκώσεως θαύμα, εν ευωδίαις ημάς κατηγλάϊσε, ζωής αρρήτου Μαριάμ, δυσωδίας

φθοράς εκλυτρούμενος.

Διάσωσον ημάς, εκ πλάνης, και θλίψεως ψυχοφθόρου, Αμφιλόχιε σεπτέ Ιεράρχα, τους τιμώντάς σου χάριτας, εν πίστει και ευλαβεία.

Άχραντε...

Κοντάκιον. Ήχος β' . Προστασία των χριστιανών.

Λειτουργός ως υπαρχών ευπρόσδεκτος Άγιε, τω φωτί τω τρισηλίω θέσει θεουμένος, ελθέ τάχει, και εξελού ημάς εκ συμφορών, δεινών νόσων τε και χαλεπών, μηχανευμάτων του εχθρού, θεουργέ Αμφιλοχιεν. Ίθυνον διανοίας, προς τρίβον της μετανοίας, διδούς υψόθεν χαρμονήν, αγαπήσει τη πατρώα σου.

Προκείμενον: Οι ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην...

Στιχ.: Τίμιος εναντίον Κυρίου...

Ευαγγέλιον ιεραρχικόν.

Δόξα. Ταις του Ιεράρχου...

Και νυν: Ταις της Θεοτόκου...

Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Προσόμοιον. Ήχος πλ. β . Όλην αποθέμενοι.

Αίγλη αυγαζόμενος, χειροθεσίας Αγγέλων, Πάτερ Αμφιλόχιε, ρήσεσι χειλέων σου εναπέφραξας, ασεβών στόματα, των μη προσκυνούντων, της Τριάδος το ομότιμον, ελαίω άνωθεν ποιμαντορικώς σφραγισάμενος· διο μανίας δράκοντας, ότρωτον συντηρεί με πάντοτε, ίνα σου δοξάζω δωρήματα προνοίας εναργούς και γλυκασμούς αντιλήψεων, επιχεομένων μοι.

Ωδή ζ' . Οι εκ της Ιουδαίας.

Οσφρανθείς ηδυπνόων, αρωμάτων του Πνεύματος Αμφιλόχιε, παθών της δυσωδίας, ευτόνω σου δεήσει, απαλλάττεις εκάστοτε, εν συντριβή ιερά, τους σε υμνολογούντας.

Νοητή εν δρεπάνη, κακοδόξων βλαστήματα εξεμέλισας, ζιζάνια εκκαίων, λυμαντικά σπερμάτων, Πάτερ της πίστεως, καρποφυλάττων ημίν, ραδάμνους σωτηρίας·

Μετουσία τη θεία, Αμφιλόχιε Πάτερ θέλγει αείποτε, αΰλων αρμονίας, διο κεκυφυίαν, την ψυχήν μου ενίσωσαν, τη σταθερά Ιησού, ευθύτητι αγία

Θεοτοκίον.

Ο Υιός σου εσθήτα, περιθείς σοι Πανάχραντε της Θεότητος, διάχρυσον εξόλου, ως άσμα των ασμάτων κατεκόσμησε χάρισι, εν κροσσωτοίς ποικιλτοίς, Πατρός της ευδοκίας.

Ωδή η’ . Τον Βασιλέα.

Ιάσεις βρύεις, τοις ευλαβώς προσκυνούσι, την σεπτήν εικόνα σου θεόπτα, και γαρ πλουτείς πάσι, θαυμάτων σου την αίγλην.

Ιερωσύνης, την ευλογίαν παμμάκαρ, συμπαθώς εκχέεις τοις αιτούσι, δρόσω γαρ επλήσθης, ψεκάδων ευσπλαγχνίας.

Σκεύος εδείχθης, της θεϊκής επιπνοίας, Αμφιλόχιε Πάτερ αξίως, ποίμνην σου ευθύνων, εις τρίβον μετανοίας.

Θεοτοκίον.

Ιερωτέραν, των ουρανίων ταγμάτων, σε γινώσκομεν Πανύμνητε Μαρία, τέλος γαρ υπάρχεις δημιουργίας πάσης.

Ωδή θ’ . Κυρίως Θεοτόκον.

Δεχόμενοι ευχαίς σου, αύρας ζωηφόρους, συναθροισθέντες τη θεία εικόνι σου, λοχαίους στάχυας Πάτερ αναδρεπόμεθα.

Ωραίος ενεφάνης· φωτός ταις αγλαΐαις, αμωφιλοχεύων ιάσεις τοις χρήζουσι, ω Αμφιλόχιε, τρόποις της σης χρηστότητος.

Ροαίς των σων θαυμάτων, σβέννυς πυρ ανθράκων, των πειρασμών και των θλίψεων Όσιε, ευχή σου φύσεως τρέπων τα οροθέσια.

Θεοτοκίον.

Αγνείας εν κοιλάσι, ως δορκάς τρυφώσα, βόσκεις νομαίς ταις του Πνεύματος Δέσποινα, επιθυμία Υιού σου ημάς ηδύνουσα.

Το Άξιόν εστι και τα Μεγαλυνάρια.

Κλήσει ασωμάτων ως πιστωθείς, προς σκοπόν λατρείας, παναχράντου και λογικής, θεία προμηθεία, Ποιμήν ετελειώθης, Τριάδος λαμπηδόσι, ω Αμφιλόχιε.

Θημών πεπυκασμένος εν αρεταίς, καρπούς αθανασίας, διανέμεις και γλυκασμόν, πατρώας ικεσίας, πικρίας ρυομένης, Πατέρων άσμα θείον, ω Αμφιλόχιε.

Χαίροις ευδοκίας ιερουργός, δοθείσάν σοι χάριν, σφραγισάμενος ιερώς, τυπώματι θείω, αγιασμού θεόπτα, εν λόγω τε και έργω, ω Αμφιλόχιε.

Πόθω ιερατευσας τω Χριστώ, ουράνιοι πύλαι· διο ήρθησαν εξ αυτών, τη θέα σου μύστα, ίνα εισέλθης ένδον, τοις στίγμασι Δεσπότου, ως σημειούμενος.

Εδίδαξας Πάτερ θεολογείν, Τριάδος το δόγμα και λατρεύειν μίαν αρχήν, απλήν τη ουσία, τρισάριθμον προσώποις, την ποίμνην σου φυλάττων, λύκοις αλύμαντον.

Δίδου ευλογίας τοις επί σε, Πάτερ αφορώσι, και εκ νάρδων καρδιακών, επίχεε μύρα, ψυχαίς επιποθούσαις, το φίλτρον του Δεσπότου, ω Αμφιλόχιε.

Πάσαι των Αγγέλων...

Το τρισάγιον, τα συνήθη τροπάρια, εκτενής και απόλυσις, μεθ' ων ψάλλομεν το εξής :

Ήχος β' ·Ότε εκ του ξύλου.

Χλαίνη του Ποιμένος φαιδρυνθείς, χάριν την πολύφωτον έργω, πάσιν επλούτησας, βίον του Δεσπότου σου, εν τοις παθήμασι, διεξάγων θεόπνευστε, διο μη ελλίπης, δόσεις τας αΰλους σου, νέμειν τοις μέλπουσι, θειά σου λοχεύματα πόθω, την χαράν αιτούμενος πάσι, Πάτερ Αμφιλόχιε και έλεος.

Δέσποινα πρόσδεξαι .......

Την πάσαν ελπίδα μου...